λογισμὸν ἔχειν· μηδένα φίλον ποιοῦ πρὶν
ἢ δοκιμάσῃς πῶς ἐχρήσατο τοῖς πρότερον φίλοις·
ἐλπίζειν γὰρ αὐτὸν ὃν περὶ ἐκείνους ἐγένετο τοιοῦτον, οἷ-
ος καὶ περὶ ἐκείνους γίνεται· βραδέως μὲν φίλος ἴ-
σθι· γενόμενος δὲ, πειρῶ διαμένειν· ὁμοίως γὰρ ἀπρό-
σκοπον, μηδένα φίλον ἔχειν, καὶ πολλοῖς ἑταίροις μετὰ
πλανᾶσθαι· μήτε μεταβλητὸς πειρῶ τῶν φίλων, μήτε
ἀπειρος εἶναι τῶν ἑταίρων θέλε· διὰ τοῦτο δὲ χρήσεις ὧν
ἐλάχιστα δεόμενος, τὸ δεῖσθαι προσποιοῦ· περὶ τῶν μὴ
ὡς ἀπορρήτων ἀκροῶ· μὴ τύχῃς μὲν γὰρ οὐδὲν
βλαβήσῃ· τύχῃς δὲ, μᾶλλον αὐτῶν τοῦ λόγου
ἡσθήσῃ· δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν
βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας·
τὸν μὲν γὰρ χρυσίον ἐν πυρὶ βασανίζομεν· τοὺς δὲ
φίλους ἐν ταῖς ἀτυχίαις διαλυνώσκομεν· οὕτω
δεῖ ἐξ χρήσεως τοῖς φίλοις, ἐλάχιστα προσμένοντας τὰς
παρεκείνων δεήσεις, ἀλλ' αὐτὸ τελεσφορεῖν αὐτοῖς, ἐν
τοῖς καιροῖς βοηθοῦντας· ὁμοίως αἰσχρὸν εἶναι νομίζε-
τε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις, ἢ τῶν φί-
λων κρατεῖσθαι ταῖς εὐεργεσίαις· ἀπόδεχου τῶν ἑ-
ταίρων, μὴ μόνον τοὺς ὠφελοῦντας τοῖς καλοῖς ἔργοις,
ἀλλὰ καὶ τοὺς ὠφελοῦντας τοῖς μεγάλοις καὶ φθο-
νουμένοις· πολλοὶ γὰρ, ἀτυχοῦσιν μὲν, οὐκ ἀφθονοῦσι·
κακῶς δὲ πράττουσι, φθονοῦσι· ὧν ἀπόστα
φίλων, μέμνησο πρὸς τοὺς πονηροὺς, ἵνα
δοκῇς, μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν·

http://digital.slub-dresden.de/ppn346470072/14